βδελυξάμενος,
τῆς ψυχῆς ἅπασαν
καὶ καρδίας ἔφεσιν
ἐν τοῖς θείοις προσανήρτησας,
κάλλη τὰ ἄρρητα
μόνα καὶ ποθῶν καὶ βουλόμενος
τῆς τούτων ἀπολαύσεως
σὺν τοῖς ἐκλεκτοῖς τυχεῖν ἅπασιν·
ὅθεν διαπρέψας
τῷ θείῳ σχήματι τῶν μοναχῶν,
ὁμολογίᾳ κεκόσμησαι
τῇ ὑπὲρ τῆς πίστεως.
Ὅλος ἦν σεμνότατος
ὁ σὸς φιλόσοφος βίος,
θαυμαστός, ἐξαίρετος,
ἱερὸς καὶ ἅγιος
καὶ ἰσάγγελος·
συντριβὴν ἄμετρον
τῆς ψυχῆς εἶχες γάρ,
παρθενίαν ὑπὲρ ἄνθρωπον,
ἄκραν εὐλάβειαν,
τὴν ὑψοποιόν τε ταπείνωσιν,
ἀγάπην ἀνυπόκριτον,
ἧς χωρὶς οὐδεὶς Θεὸν ὄψεται·
ὅθεν ἐπὶ τέλει
τοῦ βίου ὁ τῆς δόξης σε Θεὸς
δόξῃ λαμπρᾷ κατεκόσμησε
τῇ ὑπὲρ τῆς πίστεως.

Δόξα· ἦχου α'.

Τὸν πρὸ τῆς παραβάσεως
βραχύ τι παρ' ἀγγέλους
ἠλαττωμένον πρῶτον ἄνθρωπον
ὡς ἐν εἰκόνι καθορῶμεν ἀτεχνῶς
ἀφορῶντες εἰς τὸν ἰσάγγελον βίον σου,
θεοφόρε Μάρκε ἀοίδιμε·
τὴν γὰρ (f. 764 v.) ἐκ τῆς παρακοῆς
αἰσχίστην ἧτταν ἀναμαχόμενος
καὶ τὸ κατ' εἰκόνα τηρήσας
τῇ τῶν ἐντολῶν ἀκριβῶς ἐργασίᾳ
πρὸς τὸ καθ' ὁμοίωσιν Θεοῦ
ὥσπερ οὐδεὶς σχεδὸν ὁμοίως ἀνέδραμες,